
ἄρα καὶ τὸ ΔΕ· καὶ παρὰ ῥητὴν τὴν ΔΙ παράκειται, πλά-
τος ποιοῦν τὴν ΔΗ· ῥητὴ ἄρα ἐστὶν ἡ ΔΗ καὶ ἀσύμμε-
τρος τῇ ΔΙ μήκει. πάλιν ἐπεὶ μέσον ἐστὶ τὸ ὑπὸ τῶν
ΑΒ ΒΓ, καὶ τὸ δὶς ἄρα ὑπὸ τῶν ΑΒ ΒΓ μέσον ἐστί. καὶ ἔστιν
ἴσον τῷ ΔΘ· καὶ τὸ ΔΘ ἄρα μέσον ἐστί· καὶ παρὰ ῥητὴν
τὴν ΔΙ παραβέβληται, πλάτος ποιοῦν τὴν ΔΖ·
ῥητὴ ἄρα ἐστὶν ἡ ΔΖ καὶ ἀσύμμετρος τῇ ΔΙ μήκει. καὶ
ἐπεὶ αἱ ΑΒ ΒΓ δυνάμει μόνον σύμμετροί εἰσιν. ἀσύμμε-
τρος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΒΓ μήκει· ἀσύμμετρον ἄρα
καὶ τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον τῷ ὑπὸ τῶν ΑΒ ΒΓ·
ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΒ. σύμμετρά ἐστι τὰ ἀπὸ
τῶν ΑΒ ΒΓ· τῷ δὲ ὑπὸ τῶν ΑΒ ΒΓ. σύμμετρόν ἐστι
τὸ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀ-
πὸ τῶν ΑΒ ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ· τὸ ΔΕ· τῷ
δὲ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ τὸ ΔΘ· ἀσύμμετρον ἄρα τὸ
ΔΕ τῷ ΔΘ· ὡς δὲ τὸ ΔΕ πρὸς τὸ ΔΘ. οὕτως ἡ ΗΔ
πρὸς τὴν ΔΖ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΗΔ τῇ ΔΖ.
καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΗΔ ΔΖ ῥηταί εἰ-
σιν δυνάμει μόνον σύμμετροι· ἡ ΖΗ ἄρα ἀποτο-
μή ἐστι. ῥητὴ δὲ ἡ ΔΙ· τὸ δὲ ὑπὸ ῥητῆς καὶ ἀλόγου
περιεχόμενον. ἄλογόν ἐστιν· καὶ ἡ δυναμένη ἄρα αὐ-
τὸ ἄλογός ἐστι·
καὶ δύναται τὸ
ΖΕ ἡ ΑΓ· ἡ ΑΓ
ἄρα ἄλογός ἐστι·
καλείσθω δὲ μέ-



ἴσα γὰρ τὰ μὲν ἀπὸ τῶν ΑΒ ΒΓ,

σης ἀποτομὴ δευτέρα :~
οϛ ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ δυνάμει ἀσύμμετρος οὖ-
σα τῇ ὅλῃ· μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν ἀπ' αὐ-
τῶν ἅμα ῥητόν· τὸ δ' ὑπ' αὐτῶν μέσον. ἡ λοιπὴ ἄλο-
γός ἐστι· καλείσθω δὲ ἐλάσσων· ἀπὸ γὰρ εὐθείας τῆς
ΑΒ. εὐθεῖα ἀφῃρήσθω ἡ ΒΓ δυνάμει ἀσύμμετρος οὖσα
τῇ ὅλῃ ποιοῦσα μετὰ τῆς ὅλης τῆς ΑΒ τὸ συγκείμε-
νον ἐκ τῶν ἀπὸ τῶν ΑΒ ΒΓ ἅμα ῥητόν· τὸ δὲ δὶς ὑ-
πὸ τῶν ΑΒ ΒΓ ἅμα μέσον· λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλο-
γός ἐστιν ἡ καλουμένη ἐλάσσων· ἐπεὶ γὰρ τὸ μὲν συγ-
κείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΒ ΒΓ τετραγώνων ῥητόν
ἐστι· τὸ δὲ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ μέσον. ἀσύμμετρα ἄ-
ρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ·
καὶ ἀναστρέψαντι ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ ΒΓ τῷ
ἀπὸ τῆς ΑΓ· ῥητὰ δὲ τὰ ἀπὸ τῶν ΑΒ ΒΓ· ἄλογον
ἄρα τὸ ἀπὸ τῆς
ΑΓ· ἄλογος ἄ-
ρα ἡ ΑΓ· καλεί-
σθω δὲ ἐλάσσων :~

Α Γ Β

οζ ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ δυνάμει ἀσύμμετρος
οὖσα τῇ ὅλῃ· μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκεί-
μενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον· τὸ δὲ δὶς
ὑπ' αὐτῶν ῥητόν· ἡ λοιπὴ ἄλογός ἐστι· καλείσθω δὲ
μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα· ἀπὸ γὰρ εὐθείας
τῆς ΑΒ εὐθεῖα ἀφῃρήσθω ἡ ΒΓ δυνάμει ἀσύμμετρος
οὖσα τῇ ὅλῃ τῇ ΑΒ· ποιοῦσα τὸ μὲν συγκείμενον

